Στρ. Ἄρδω σ' ὅπως ἀναβλαστάνῃς.
Χο αἰ. Ἀλλ' αὖος εἶμ' ἤδη τρέμων.
Στρ. Οὐκοῦν ἐπειδὴ πῦρ ἔχεις σὺ χλιανεῖς σεαυτόν.

A STR. Nam te irrigo vt regermines.
CH s.V. Quin aridus sum & iam tremens.
STR. Ignem ergo qui geras, habebis vnde mox tepescas.

Bisetus. Ὦ τύμβε.] τύμβον καλεῖ τὸν γέροντα, διὰ τὸ γῆρας ἔσχατον, καὶ τύμβου ἄξιον. ὡς τυφογέροντα οὖν αὐτὸν λοιδορεῖ. ταῦτα δὲ σύνταξον οὕτω, Τί δὴ ὦ τύμβε πῦρ ἔχων ὡς σαυτὸν ἐμπυρεύσων, καὶ σὺ δεῦρο ἀφίκου δηλαδή. ἐμπυρεύσων δὲ, σαυτὸν πυρώσων, καύσων τῷ πυρὶ φερομένῳ. Ἵνα νήσας.] τουτέστι σωρεύσας. Τούτῳ κατασβέσαιμι.] τούτῳ τῷ ὕδατι. Σταθεύσω.] σταθεύειν, πυροῦν. καὶ πυρὶ ἡσύχως χλιᾶναι κρέας, καὶ ὀπτῦσαι. Ἡσύχιος, περὶ τούτου καὶ ἐν Ἀχαρνεῦσι, σηπίας στάθευε, τουτέστιν ὄπτα. καὶ ἐν Ἐκκλησιαζούσαις, σηπίαις ἐσταθευμέναις, ἤγουν ὀπτηθείσαις, ἢ πυρὶ χλιανθείσαις. ἄλλως. σταθεύειν, τὸ ἡσύχως, καὶ βραδύνοντι πυρὶ ὀπτᾶν. Εἰ ῥύμμα.] ῥύμματα, τρίμματα, σμήγματα, καθάρματα. Σ. ἄλλως. ῥύμμα, ῥύπον, σπίλον, ἀκαθαρσίαν. σὺ λουτρὸν, δηλονότι παρέξεις; δώσεις; νυμφικὸν δὲ λουτρὸν λέγει, ὅτι αἱ νύμφαι νεωστὶ γημάμεναι πρὶν ἢ μετὰ τῶν νυμφίων κοιμᾶσθαι καθαρότητος μείζονος ἕνεκα λουτροῖς ἐχρῶντο. Ἡλιάζεις.] ἡλιάσαι κυρίως ἐν τῷ ἡλίῳ ἁπλῶσαι. ἢ θερμαίνεσθαι ἐν ἡλίῳ. Ἡσύχιος. ὅθεν Ἡλιαία τὸ μέγιστον δικαστήριον Ἀθήνησιν, οὕτω καλούμενον, διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι τόπῳ, καὶ ὑπὸ τοῦ ἡλίου βάλλεσθαι. ἡλιάζεσθαι δὲ ὅθεν καὶ ἡλίασις, ἐστὶ τὸ ἐν Ἡλιαίᾳ δικάζεσθαι. καὶ ἡλιασταὶ, οἱ ἐν Ἡλιαίᾳ δικασταί. καὶ τὸ ἡλιάξεις ἐνταῦθα λείπει τὸ ἐν, ἀντὶ τοῦ ἐν Ἡλιαίᾳ δικάσεις. ἢ, οὐκ ἔτι δικαστὴς ἔσῃ, οὐδὲ τῆς Ἡλιαίας δικαστής. ἢ καὶ ἁπλῶς, οὐκ ἔτι δικαστὴς ἔσῃ. ἡλιάζειν δὲ ἐν τῷ μέλλοντι ἡλιάσω, καὶ ἡλιάξω. ὡς παίζω, παίσω, καὶ παίξω. Σὸν ἔργον ὦ Ἀχελῷε.]

ὦ Ἀχελῷε σὸν ἔργον ἐστί. νῦν ὦ Ἀχελῷε δεῖ σε κατὰ τούτου ποιεῖσθαι τὸ σὸν ἔργον, ἤγουν τοῦτον τοῖς σοῖς ὕδασι βρέχειν. ἡ δὲ Στρατυλλὶς ὕδωρ εἰς τὴν τοῦ γέροντος κεφαλὴν

B ἐκχέουσα τοῦτο λέγει. τὸν δὲ Ἀχελῷον ὡς θεὸν προσφωνεῖ. Ἀχελῷος δὲ ποταμὸς Ἀρκαδίας. καὶ πᾶν ὕδωρ οὕτω λέγεται. Ἄρδω σ' ὅπως.] ἄρδω, βρέχω. ἄρδειν ἀλλαχοῦ τὸ ποτίζειν. οἷον ἵππον ἄρδειν. Εὐστ. αὖος δὲ, ὅθεν τὸ αὐαλέος, αὐανθεὶς ξηρανθεὶς ξηρός. χλιανεῖς δὲ, θερμανεῖς. ὅτι δὲ ὁ χορὸς γερόντων εἶπε, τρέμων, πρὸς τοῦτο ἡ Στρατυλλὶς ἐπιφέρει, σὺ τοίνυν πῦρ ἔχων, σε χλιανεῖς. οὕτως αὐτὸν σκώπτει.

CHRIST. Τί δὲ σὺ πῦρ.] Legerem τί δαὶ σὺ πῦρ ὦ τύμβ' ἔχων, ὡς σαυτὸν, &c. Est autem ὦ τύμβε

C quasi ô silicernium. Sed & versu proximè praecedenti, si constare vis suis numeris qui Tetrametrum efficiant catalecticum, deleam σὺ & legam ὦ θεοῖσιν ἐχθρὰ δεῦρ'. Ἐγὼ μὲν ἵνα νήσας.] Lego ἐγὼ μίαν νήσας πυρὰν, & versu proximè sequenti ἐγὼ δὲ μίαν τὴν σὴν, &c. Quia antea sic locutus est, μίαν πυρὰν νήσαντες. Εἰ ῥύμμα.] Sordes per hanc vocem intelligit, quae etiam σμήγματα, τρίμματα & καθάρματα, sed in hoc versu transponerem verba

D vltima & legerem ἐγὼ λουτρὸν παρέξω. Neq; mihi dubium est quin λουτρὸν hic sit lotium, seu puellare seu virgineum, quod vocat νυμφικόν. Ἄδρω σ' ὅπως] Lego ἄρδω σ' vt & legitur in Veneta edit.

ΠΡΟΒΟΥΛΟΣ, ΑΓΓΕΛΟΣ Γερόντων.

Πρ. Ἆρ' ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ,
Χ' ὁ τυμπανισμὸς χ' οἱ πυκνοὶ Σαβάζιοι.
Ὅ τ' Ἀδωνιασμὸς οὗτος οὐπὶ τῶν τεγῶν.
Οὗ 'γώ ποτ' ὢν ἤκουον ἐν τῇ 'κκλησίᾳ.
Ἔλεγεν δ' ὁ μὴ ὡραῖσι μὲν Δημόστρατος
Πλεῖν εἰς Σικελίαν. ἡ γυνὴ δ' ὀρχουμένη
Αἰαῖ Ἄδωνιν φησίν. ὁ δὲ Δημόστρατος
Ἔλεγεν ὁπλίτας καταλέγειν Ζακυνθίων.
Ἡ δ' ὑποπεπωκυῖα, ἡ γυνὴ 'πὶ τοῦ τέγους
Κόπτεσθ' Ἄδωνιν φησίν. ὁ δ' ἐβιάζετο
Ὁ θεοῖσιν ἐχθρὸς, καὶ μιαρὸς Χολοζύγης
Τοιαῦτ' ὑπ' αὐτῶν ἐστιν ἀκόλαστ' ᾄσματα.
Αγγ. Τί δῆτ' ἂν εἰ πύθοιο καὶ τὴν τῶνδ' ὕβριν
Αἳ τἄλλα θ' ὑβρίκασι κἀκ τῶν καλπίδων
Ἔλουσαν ἡμᾶς. ὥστε θ' αἱματίδια
Σείειν πάρεστιν, ὥσπερ ἐνεουρηκότας.
Πρ. Νὴ τὸν Ποσειδῶ τὸν ἁλυκὸν δίκαιά γε.
Ὅταν γὰρ αὐτοὶ ξυμπονηρευώμεθα

PROBVLVS vel PROVISOR, Nuntius à senibus.

E PROB. Ergo ille luxus faeminarum promicat
Sonusq; tympani & frequens bacchatio
Adonidisq; lessus in tectis strepens
In concione nuper auditus mihi,
Dum se in Sicanos autumat Demostratus
Haud tempori ire, saltat vxor interim
Eheuq; Adoni dicit, armites viros
F Zacynthiorum idem inquijt Demostratus
Legisse, vt vxor temulenta per domum
Lugeri Adonin inquit: at vi ducitur
Odium deorum ille improbus Cholozuges:
Has cantiones impudicas efferunt.
NVN. Quid si ô Probule caeteras iniurias
Quas hae patrarunt rescias? lauere nos
Suis matellis, suntq; nostra pallia
G Quassanda tersim, vt illa quum perminximus.
PR. Testor marinum Trossuli numen dei,
Iurè ista patrant, namq; nos cùm nequiter

Bisetus. Ἆρ' ἐξέλαμψε.] στίχοι ἰαμβικοὶ τετράμετροι ἀκατάληκτοι. Πρόβουλος εἰς τὴν σκηνὴν προσελθών